τὰ οὕτω περιφανῆ καταστρέφοντες. Τῶν γοῦν δεσποτικῶν λογίων ἴδια μὲν κυρίου τὸν κόσμον λεγόντων· ἰδίους δὲ τοὺς ἐν αὐτῷ, κἄν τε ἔλαβον αὐτόν, κἄν τε μή. Οἱ μὲν γὰρ λαβόντες, μετὰ τοῦ εἶναι ἴδιοι, ὡς ποιήματα αὐτοῦ, καὶ ἐτεκνώθησαν αὐτῷ, δεξάμενοι τὸν ἐπὶ τῇ σφῶν αὐτῶν σωτηρίᾳ παραγενόμενον. Οἱ δὲ μὴ παραλαβόντες αὐτόν, κἂν ἴδιοι ὦσιν ὡς πλάσμα αὐτοῦ, ἀλλ' οὖν οὐ παραδεξάμενοι αὐτόν, τῆς δευτέρας καὶ πνευματικῆς υἱοθεσίας ἀπεξένωσαν ἑαυτούς. Οὕτω γοῦν τῶν λογίων τὰ ἴδια, καὶ τοὺς ἰδίους ἑρμηνευόντων, πῶς οὐ βδελυκτοὶ τῆς πλάνης οἱ ἕτερόν τι τοῖς ῥήμασιν ὑποβαλλόμενοι; Ὅτι δὲ ἴδια τὸν κόσμον φησίν, καὶ ἐκ τούτων ἐστὶ σαφῶς συνορᾶν.

Joh. 1. v. 9.

Ἦν γάρ, φησί, τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ποῖον κόσμον; Δηλονότι τὸν αἰσθητόν. Καὶ πότε ἐφώτισεν; Ὅτε παραγίγονεν ἐν αὐτῷ. Πότε δὲ παραγίγονε, τὸ εὐαγγέλιον βοᾷ. Ἐν τῷ κόσμῳ γὰρ ἦν, φησί. Πάντως γὰρ ἐν τῷ αἰσθητῷ κόσμῳ ὤν, τὸν ἐρχόμενον εἰς τὸν αἰσθητὸν κόσμον ἐφώτιζεν. Εἶτα τίνος ἦν ὁ κόσμος ποίημα, ἐν ᾧ τε αὐτὸς ἦν, καὶ τὸν ἐρχόμενον εἰς αὐτὸν ἐφώτιζεν, οὐκ ἄλλοθεν ἐστὶ μαθεῖν, ἀλλ' ἢ ἐξ αὐτῶν εὐαγγελικῶν ῥημάτων. Ὁ κόσμος γάρ, φησι, δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Ὃ ἴσον ἐστὶ τῷ εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Ὁρᾷς, πῶς πανταχόθεν αὐτὴ ἑαυτῇ μαρτυρεῖ ἡ ἀλήθεια; Καὶ τὸ φῶς αὐτῆς μᾶλλον ἀναλάμπει τοῖς ἐπιζητοῦσιν αὐτήν. Τῶν

γοῦν